24 Ιωσηφ. [24]καὶ εἶπεν Ιωσηφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων Ἐγὼ ἀπο-
θνῄσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται ὑμᾶς ὁ θεὸς καὶ ἀνάξει ὑμᾶς
ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν, ἣν ὤμοσεν ὁ θεὸς τοῖς πατράσιν
25 ἡμῶν Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ. [25]καὶ ὥρκισεν Ιωσηφ τοὺς
υἱοὺς Ισραηλ λέγων Ἐν τῇ ἐπισκοπῇ, ᾗ ἐπισκέψεται ὑμᾶς ὁ θεός,
26 καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ᾽ ὑμῶν. [26]καὶ ἐτελεύ-
τησεν Ιωσηφ ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν
ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

24 λεγων > A | υμας / ο θ.] tr. A: item in 25 | τοις πατρ. ημων > A || 26 εθηκαν] + αυτον A

Subscr. γενεσις κατα τους εβδομηκοντα B†, γενεσις κοσμου A†

# ΕΞΟΔΟΣ

1 [1]Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ισραηλ τῶν εἰσπεπορευμένων εἰς
Αἴγυπτον ἅμα Ιακωβ τῷ πατρὶ αὐτῶν — ἕκαστος πανοικίᾳ αὐτῶν
2 3 εἰσήλθοσαν —· [2]Ρουβην, Συμεων, Λευι, Ιουδας, [3]Ισσαχαρ, Ζαβου-
4 5 λων καὶ Βενιαμιν, [4]Δαν καὶ Νεφθαλι, Γαδ καὶ Ασηρ. [5]Ιωσηφ δὲ
ἦν ἐν Αἰγύπτῳ. ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ιακωβ πέντε καὶ ἑβδομή-
6 κοντα. [6]ἐτελεύτησεν δὲ Ιωσηφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ
7 πᾶσα ἡ γενεὰ ἐκείνη. [7]οἱ δὲ υἱοὶ Ισραηλ ηὐξήθησαν καὶ ἐπληθύν-
θησαν καὶ χυδαῖοι ἐγένοντο καὶ κατίσχυον σφόδρα σφόδρα, ἐπλή-
θυνεν δὲ ἡ γῆ αὐτούς.
8 [8]Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ᾽ Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ιω-
9 σηφ. [9]εἶπεν δὲ τῷ ἔθνει αὐτοῦ Ἰδοὺ τὸ γένος τῶν υἱῶν Ισραηλ
10 μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς· [10]δεῦτε οὖν κατασοφισώμεθα
αὐτούς, μήποτε πληθυνθῇ καί, ἡνίκα ἂν συμβῇ ἡμῖν πόλεμος, προσ-
τεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους καὶ ἐκπολεμήσαν-
11 τες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς. [11]καὶ ἐπέστησεν αὐτοῖς ἐπιστά-
τας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδό-
μησαν πόλεις ὀχυρὰς τῷ Φαραω, τήν τε Πιθωμ καὶ Ραμεσση καὶ
12 Ων, ἥ ἐστιν Ἡλίου πόλις. [12]καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσού-
τῳ πλείους ἐγίνοντο καὶ ἴσχυον σφόδρα σφόδρα· καὶ ἐβδελύσσοντο

Exod.: BA.

Inscr.] + αιγυπτου A†

1 1 πανοικι B || 2 ιουδα A || 7 κατισχυσαν A || 9 αυτου > A | γενος] εθνος A || 10 ουν > A: cf. 3 16 4 1 || 11 πιθωμ] πειθω B || 12 σφοδρα 2° > A*